p. 450d. καὶ γεωμετρικῇ.

τελείαν ἀνάγνωσιν ποίησον ἕως ἐνταῦθα καὶ οὕτως ἄρξαι **10** ἐπὶ τῆς πεττευτικῆς, ἵνα ᾖ τὸ λεγόμενον· οὕτως καὶ πεττευτική γε καὶ ἄλλαι τέχναι ἐξ ἴσου ἔχουσιν.

p. 450d. καὶ τὸ κῦρος αὐταῖς διὰ λόγων.

ἰδοὺ ἐπειδὴ Σωκράτης ὁ λέγων οὐκ εἶπεν κύρωσις ἀλλὰ κῦρος. **11**

p. 450e. καὶ ὑπολάβοι ἄν τις εἰ βούλοιτο δυσχεραίνειν.

εἴ τις θέλει δυσχεραίνειν καὶ φιλονεικεῖν, ὑπολάβοι ἄν σε **12** τὴν ἀριθμητικὴν ῥητορικὴν λέγειν, ἐπειδὴ κἀκείνη περὶ λόγους· ἐγὼ δὲ οὐκ οἶμαί σε τοῦτο λέγειν. δυνατὸν δὲ ἐκ τούτων ἐν πρώτῳ σχήματι συλλογίσασθαι οὕτως· ἡ ἀριθμητικὴ τὸ κῦρος περὶ λόγους ἔχει· ἡ περὶ τοὺς λόγους τὸ κῦρος ἔχουσα ῥητορική ἐστιν· ἡ ἀριθμητικὴ ἄρα ῥητορική ἐστιν.

p. 451a. ὥσπερ ἂν εἴ τις με ἔροιτο.

ὁρᾷς πῶς εἰς ἑαυτὸν ἀναφέρει τὸ ἁμάρτημα· διαφαίνεται **13** οὖν ἐντεῦθεν τὸ ἦθος τοῦ Σωκράτους.

p. 451b. ὥσπερ οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι.

πάλαι εἰ εἶχέ τις ψήφισμα ἢ νόμον ἢ ἄλλο τι εἰπεῖν, ὁ **14** κῆρυξ ἔλεγε τό τε ὄνομα αὐτοῦ καὶ τὸν δῆμον καὶ τὸν πατέρα οἷον Δημοσθένης Δημοσθένους Παιανιεύς· εἰ τοίνυν πλείονα εἶχεν ἀναγνῶναι ψηφίσματα, ἐν τῷ $\overline{\alpha}$ ψηφίσματι ὁ κῆρυξ ἔλεγεν τὸ ὄνομα τοῦ γράψαντος καὶ τοῦ πατρὸς τούτου καὶ τοῦ δήμου· ἐν δὲ τοῖς λοιποῖς ψηφίσμασιν, ἵνα μὴ περιττολογῇ, ἔλεγεν τὰ μὲν ἄλλα ὁμοίως, ἀναγινωσκέτω δὲ ἕτερον ψήφισμα. οὕτως οὖν καὶ ὁ Σωκράτης φησίν· εἰ δὲ πάλιν ἔροιτο μέ τις, ὅτι περὶ τί καταγίνεται ἡ λογιστική, εἴποιμι τὴν τῶν κηρύκων φωνήν, ὅτι τὰ μὲν ἄλλα τὰ αὐτά. ἰστέον γάρ, ὅτι περὶ ἃ ἡ ἀριθμητικὴ καταγίνεται, περὶ ταῦτα καὶ

---

4 cf. schol. in Plat. p. 300 19 cf. IG II² 1 lin. 56; 64. 44; 96 Ammon de interpr. 46, 29; 65, 12; 270, 6

---

19 mg. ση. τὸ ἀρχαῖον ἐν τοῖς ψηφίσμασιν ἢ τοῖς ὁμοίοις τῶν κηρύκων ἔθος